# Acts 2:6

γενομένης δὲ τῆς φωνῆς

ταύτης συνῆλθε τὸ πλῆθος

καὶ συνεχύθη, ὅτι ἤκουον εἷς

ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ

λαλούντων αὐτῶν·

# Acts 2:7

ἐξίσταντο δὲ καὶ ἐθαύμαζον

λέγοντες· ⸀Οὐχ ἰδοὺ ⸀πάντες

οὗτοί εἰσιν οἱ λαλοῦντες

Γαλιλαῖοι;

# Acts 2:8

καὶ πῶς ἡμεῖς ἀκούομεν

ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ

ἡμῶν ἐν ᾗ ἐγεννήθημεν;

Acts 2:9

Πάρθοι καὶ Μῆδοι καὶ

Ἐλαμῖται, καὶ οἱ

κατοικοῦντες τὴν

Μεσοποταμίαν, Ἰουδαίαν τε

καὶ Καππαδοκίαν, Πόντον

καὶ τὴν Ἀσίαν,

Φρυγίαν τε καὶ Παμφυλίαν,

Αἴγυπτον καὶ τὰ μέρη τῆς

Λιβύης τῆς κατὰ Κυρήνην,

καὶ οἱ ἐπιδημοῦντες

Ῥωμαῖοι,

# Acts 2:11

Ἰουδαῖοί τε καὶ προσήλυτοι,

Κρῆτες καὶ Ἄραβες,

ἀκούομεν λαλούντων αὐτῶν

ταῖς ἡμετέραις γλώσσαις τὰ

μεγαλεῖα τοῦ θεοῦ.